τῇ πυρετὸς παλίνορσος ἐπέδραμεν αὖθις ἕωος.
ἄλλοτε δ᾽ ἀλλάγδην ὅγ᾽ ἐπέσσυται, εὖ τε περισσοῖς
ἤμασι λυγρότερον δάμνησιν, ἢ ἄρτιος ἐλθὼν,
εὖτ᾽ ἄρ᾽ ἀνιγρὸς μὲν πέλετ᾽, ἀλλ᾽ ὂ δύσκριτος ἔμπης (ξ)·
ἄλλοτε δ᾽ ἀζηχὴς πλέον ἔσσυται ἠέ τι λήγει·
πολλάκι δ᾽ αὖ μινύθει δολιχὴν οἱ θοῦριν ἐρωήν·
ὥρην δ᾽ ἄλλοτ᾽ ἄμειψεν ἐπιδρομίης ἀλεγεινῆς (ο)·
ἀλλὰ καὶ ὣς ἐπόρουσε παρῆμαρ ὁμοῖος αἰὲν,
ἶσα τ᾽ ἀμοιβήδην ἀζηχέος ἕσσατο μορφὴν,
ταῦθ᾽ ἄγε σήματ᾽ ἔασιν ἀριφραδὲ᾽ Ἡμιτριταίου.
ὅς ῥα περιτροχόων ἑτερήμεροι αἰὲν οἱ αὐτῷ (π)
εἴκελος ἐσβολίην εὖ κλήσιος ἔμμορε τρισσοῦ.
μεσσηγὺς δὲ πέλων πυρετοῦ διεχοῦς ξυνεχοῦς τε (ρ)
τοίῳ ἅτε θρώσκων ἀμφημερινῷ ἶσα παρῆμαρ,
ἀμφοῖν ἡμιτόμως τε λαχὼν τύπον ἠδὲ φυήν τε
εὖ καὶ ἐπισταμένως κικλήσκεται Ἡμιτριταῖος.

E. Τοῦ, ἄρ᾽ ἀπ᾽ ἀρχομένοιο μέχρ᾽ ἕκτης σήματα τοῖα,
χ᾽ ὡς ὁ περιτροχάδην ἐπιδέδρομε φῶτα δαμάζων.
τὸν δ᾽ ἔμετοι χολόεντες ἰόντες πολλάκι λῦσαν (σ)
αὐτόματοι, νεάτης θ᾽ ἅμα λύματα τοιάδε γαστρὸς,
οὐρά

(ξ) Ἐπιδημ. Α. β. (ο) Γαληυ. περὶ τύπων. δ. (π) ἐπιδημ. Α. α. β. (ρ) Γαληυ. περὶ διαφορ. πυρετ. Β. η. -- ι. ὑπομν. γ. ἐπιδημ. Α. περὶ τῶν ἐν νόσ. καιρ. θ. περὶ κρίσεων Β. θ. Ἀέτ. Ἀμιδ. βιβ. ε. κεφ. πβ. (σ) ἐπιδημ. Α. α. β. Γαληυ. περὶ κρίσ. Γ. γ.